τὴν ὥραν ἐκείνην, ἀναλῦσαι τὸν Αἴσωπον ἀπὸ τοῦ ἔργου, καὶ ἐλθόντα ζητεῖν τὸν ἐφήμερον ἄρτον. Ὁ οὖν ἀγαθόπους λαβὼν τὰ σῦκα καὶ λιχνευσάμενος, ἔφαγεν ἐξ αὐτῶν ἓν καὶ δύο. sic εἶτα, λέγει πρός τινα τῶν συνδούλων αὐτοῦ, ἤθελον κορεσθῆναι τῶν σύκων καὶ φοβοῦμαι. Ὁ δέ φησιν, ἐὰν φάγω κἀγὼ μετὰ σοῦ, δώσω σοι βουλὴν, καὶ φαγόντες, οὐ μαστιχθῶμεν. ἔφη δὲ πρὸς αὐτὸν ὁ ἀγαθόπους, πῶς, ἢ ποίῳ τρόπῳ. Ὁ δὲ φησίν, φάγωμεν οἱ δύο τὰ σῦκα, καὶ ἐὰν ὁ δεσπότης ἡμῶν ἐπιζητήσῃ ταῦτα, εἰπέ, ὅτι Αἴσωπος ἐλθὼν ἀπὸ τοῦ ἀγροῦ, καὶ ἄδειαν εὑρὼν, εἰσελθὼν, κατέφαγε τὰ σῦκα. Καὶ ὁ μὲν Αἴσωπος βραδύγλωσσος ὢν πρὸς ἀπολογίαν, δαρήσεται. καὶ ἡμεῖς τὴν ἐπιθυμίαν πληρώσομεν. καὶ παρακαθεσθέντες τὰ σῦκα, ἕνα ἕνα τρώγοντες, ἔλεγον, οὐαί σοι ταπεινὲ Αἴσωπε. Συμφωνήσαντες οὖν οἱ δύο, ἔφαγον ὅλα τὰ σῦκα. Ὁ δὲ κύριος αὐτῶν μετὰ τὸ λούσασθαι, ἀγαθόπου, φέρε τὰ σῦκα. Κἀκεῖνος ἔφη, δέσποτα, ὁ Αἴσωπος ἀκαι-

ρήσας